ἀρθρ.. ϛιχ.

ὅπῃ ποτ' ἂν σκήνους δὲ πλείων ἡ δρᾶσις
καὶ τοὐρέθισμα δρῶντος αἰτίου πάρα,
ἐκεῖσε πάντως τἀντερείσεως σθένος
κινήσεών τε σὺν φορᾷ ῥέπει πλέον,
καὶ τῶδ' ἅμ' ἡ ῥύμη τε χυμῶν ἀθρόων,
κἀκεῖθεν ἐς πᾶν ταῦτ' ὀπισθορμεῖ δέμας
κινήσεων τοῦδ' ἠρεθισμένων πλέον.
ἀρχὴν ἄρ' ἐκ μέρους τε λαμβάνει νόσος,
ἢ καί γ' ἐναλλὰξ ἐξ ὅλου ποτ' ἐν μέρει, ιη.352
ἃ ξυμβέβηκε φλεγμοναῖς τε τὸ πλέον,
κἄλλαις νόσοις ὅσαιπερ ἄρχοντ' ἐκ τόπων,
ὡς ἔμπαλιν ταῖσδ' αἳ μεθίσταντ' ἐς τόπους.
ΚΑ. Ὅσῳ χρονίζει δ' αὖ τόδε δρῶν ἐν δράσει,
χυμῶν τοσούτῳ κρᾶσιν ἀλλοιοῖ πλέον. --368
φυρμῷ μιαίνον κἀξομοιοῦν ἐκτόπως
αὐτοὺς ἑαυτῷ ῥᾷον, ὥστε τῶνδ' ὕπο
σθένος τε μεῖζον λαμβάνειν, καὶ τοῖσδ' ἅμα
μᾶλλον παρορμᾶν τἀντερείσεως σθένος,
καὶ τοῦτο χυμοὺς αὖθις ἀλλοιοῦν πλέον,
ὡς τούσδε βλάπτειν μηχανὴν ῥᾷστ' ἔσθ' ὅπῃ,
ὁσημέραι τ' αὔξησιν ἐμποιεῖν νόσῳ. ιε. 302 καὶ ἑξ.
ἀκμῆς δ' ἐς ἄκρον εἶτ' ἀφικνεῖται νόσος,
ὅτ' ἐς τοσόνδ' ἔφθησαν αἵδ' ἀφιγμέναι
σθένους ἀμοιβοῦ κἀντέρεισις καὶ δρᾶσις,
ὡς οὐκ ἔτ' ἠτρέμησεν οὐδ' ὅσον νόσος,
ἀλλ' ἐς παρακμήν, ἣν ἀπαυδήσῃ δρᾶσις, ις. 302

ἥνδ'